χρὴ δὲ παρατιθέναι καὶ ἓν πρὸς ἕν, ὅταν τὸ σὸν μεῖζον ᾖ, καὶ πρὸς πλείω πλείω, καὶ ἓν πρὸς πολλὰ, καὶ πολλὰ πρὸς ἕν, διαλλάττοντα κατὰ πάντας τοὺς τρόπους, τὰ μὲν σὰ αὔξοντα, τὰ δὲ τῶν ἐναντίων ἀσθενῆ καὶ μικρὰ ποιοῦντα. καὶ τοῦτον μὲν τὸν τρόπον ταῖς προκαταλήψεσι χρησόμεθα. ταῦτα δὲ διελθόντες, ἐπὶ τελευτῇ παλιλλογήσομεν, τὰ προειρημένα σχήματα διαλογισμοῦ λαβόντες, ἢ ἀπολογισμοῦ, ἢ προαιρέσεως, ἢ ἐξ ἐπερωτήσεως, ἢ εἰρωνείας.

Κεφάλαιον λε.

ΕΑν δὲ ἐπὶ τὸ βοηθεῖν τισι προτρέπωμεν, ἢ ἰδιώταις ἢ πόλεσιν, ἁρμόσει συντόμως εἰπεῖν, καὶ εἴ τις προϋπάρχει τούτοις πρὸς τοὺς ἐκκλησιάζοντας φιλία, ἢ χάρις, ἢ ἔλεος. μάλιστα γὰρ τοῖς οὕτω διακειμένοις ἐθέλουσιν ἐπαμύνειν. φιλοῦσι μὲν οὖν πάντες ὑφ' ὧν οἴονται κατὰ τὸ προσῆκον εὖ πεπονθέναι, ἢ πάσχειν, ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν, ἢ τῶν φίλων, ἢ αὐτοὶ, ἢ ὧν κηδόμενοι τυγχάνουσι. χάριν δ' ἔχουσι τούτοις ὑφ' ὧν οἴονται παρὰ τὸ προσῆκον ἀγαθόν τι πεπονθέναι, ἢ πάσχειν, ἢ πείσεσθαι, ἢ ὑπ' αὐτῶν, ἢ τῶν φίλων, ἢ αὐτοὶ ἢ ὧν κηδόμενοι τυγχάνουσι. τούτων μὲν οὖν ἄν τι ἐνῇ, χρὴ συντόμως διδάσκειν, καὶ ἐπὶ τὸν ἔλεον ἄγειν. εὐπορήσομεν δὲ ἐλεεινὰ ποιεῖν ἅπερ ἂν ἐθέλωμεν, ἐὰν συνειδῶμεν ὅτι πάντες ἐλεοῦσι τούτοις, οἷς οἰκείως ἔχειν αὐτοῖς ὑπειλήφασιν, ἢ οἴονται ἀναξίους εἶναι δυστυχεῖν. δεῖ δὲ ταῦτα ἀποφαίνειν ἔχοντας οἷς ἐθέλεις ἐλεεινοὺς ποιεῖν, καὶ ἐπιδεικνύναι αὐτοὺς ἢ κακῶς πεπονθότας, ἢ πάσχοντας, ἢ πεισομένους, ἐὰν μὴ οἱ ἀκούοντες αὐτοῖς βοηθῶσιν. ἐὰν δὲ ταῦτα μὴ ἔνι, δεικτέον ὑπὲρ ὧν λέγεις, ἀγαθῶν ἐστερημένους, ὧν τοῖς ἄλλοις ἅπασιν, ἢ τοῖς πλείστοις μέτεστιν, ἢ ἀγαθοῦ μηδέποτε τετυχηκότας, ἢ μὴ τυγχάνοντας, ἢ μὴ τευξομένους, ἐὰν μὴ νῦν οἱ ἀκούοντες οἰκτείρωσιν. ἐκ τούτων μὲν οὖν ἐπὶ τὸν ἔλεον ἄξομεν. τὰς δὲ ἀποτροπὰς ἐκ τῶν ἐναντίων τούτοις ποιήσομεν, τὸν αὐτὸν τρόπον φροιμιαζόμενοι, καὶ τὰ πράγματα διεξιόντες, ταῖς τε πίστεσι χρώμενοι, καὶ τοῖς ἀκούουσι δεικνύντες, ὡς ἔστιν ἃ πράττειν ἐπιχειροῦσιν, ἄνομα, καὶ ἄδικα, καὶ ἀσύμφορα, καὶ αἰσχρὰ, καὶ ἀηδῆ, καὶ ἀδύνατα, καὶ ἐργώδη, καὶ οὐκ ἀναγκαῖα. ἡ δὲ τάξις ὁμοιοτρόπως ἔσται,

A Opus est etiam, conferas vnum vni, cùm
tuum scilices maius sit: & plura pluribus,
& vnum multis, & multa vni. Sic secun-
dum omnem speciem varietate debemus
vti, nostra quidem augendo, aduersario-
rum autem infirmando, atque deprimen-
do. Et hoc quidem modo præocccupatio-
nibus vtemur. Hæc autem vbi fuerimus
prosecuti, iterationibus exitum termina-
bimus, coloréssque antè dictos ratiocina-
B tionis, vel enumerationis, aut electionis,
aut interrogationis, aut ironiæ assume-
mus.

CAPVT XXXV.

QVod si ad ferendum aliquibus auxi-
lium suaserimus, siue priuatis homi-
nib. siue vrbibus, paucis dicere conueniet,
& si qua his in auditores, siue amicitia, si-
ue gratia, siue misericordia præcesserit,
in medium referre congruum erit. Maxi-
C mè enim omnes his auxilio esse volunt,
qui tali animo in eos fuerint. Diligunt e-
nim eos, à quibus vel ab ipsis, vel ipsorum
amicis aliquid beneficij siue ipsi, siue alij,
qui eis curæ sunt, vel opportunè suscepis-
se, vel suscipere, susceptum ire credide-
rint. His autem habent gratias, qui siue ipsi
siue ipsorum amici, aut in eos, aut in eo-
rum necessarios boni quippiam opportu-
D nè vel contulisse, vel conferre, collaturí-
ve putentur. Si horum igitur aliquid v-
num incidat, id breuiter doceamus, & ad
misericordiam redigamus oportet. Id au-
tem affatim facere poterimus, si cognoue-
rimus solere omnes in eos misericordia
moueri, quos familiari erga se animo esse
opinentur, aut indignos calamitate suspi-
cantur. Hæc autem in iis esse ostendes,
quos misericordia dignos velis demon-
strare. Estque demonstrandum eos iniquè
E passos vel pati, vel passuros, vbi minùs his
auxilio auditores fuerint. Sin verò hæc in
illis non sunt, demonstrabis, eos omnium
bonorum inopes esse, quorum cæteri o-
mnes, aut plurimi sint participes, quíque
nihil vnquam boni vel nacti fuerint, vel
nanciscantur, nacturíve sint, nisi auditores
hoc tempore ad misericordiam moueañ-
tur. Ex his igitur auditores ad misericor-
diam inducemus. Dissuadere autem ex
F cõtrariis locis poterimus, eodémque mo-
do exordiemur, & narrabimus, & proba-
tionibus vtemur, auditoribúsque osten-
demus quæ facere aggrediuntur, esse: &
præter leges, & iniusta & perniciosa, & tu r-
pia, & tristia, & impossibilia, & difficilia,
ac minimè necessaria. In dissuadendo ve-
rò idem dispositionis modus seruabitur,